σίαν δὲ ἀπὸ τοῖς Ἰωάννου τὰς ἔξω αὐτῆς συνάγεσθαι, μνείαν Ἰωάννου ἐν
ταῖς εὐχαῖς ἐκέλευσε ποιεῖσθαι· ὡς καὶ τῶν ἄλλων ἐπισκόπων τῶν κε-
κοιμημένων εἰώθει μέμνησθαι. διὰ τοῦτο πολλοὺς ἐπανελθεῖν εἰς τὴν ἐκκλη-
σίαν ἐν ἐλπίσιν. οὕτω δὴ μεταδοτικὸς ὢν, οὐ μόνον τῶν ἐν τῇ αὐτοῦ
παροικίᾳ πτωχῶν προὐνόει, ἀλλὰ καὶ ταῖς ἀστυγείτοσι τῶν πόλεων, χρήματα
πέμπων πρὸς παραμυθίαν τῶν δεομένων· Καλλιοπίῳ γοῦν πρεσβυτέρῳ τῆς
Νικαέων ἐκκλησίας, τριακοσίους ἀποστείλας χρυσίνους, τάδε ἐπέστειλε·
Καλλιοπίῳ Ἀττικὸς ἐν Κυρίῳ χαίρειν. ἔμαθον μυρίους ἐν τῇ πόλει πεινῶντας
δεῖσθαι τοῦ παρὰ τῶν εὐσεβούντων ἐλέου. μυρίους δὲ λέγω, τὸ πλῆθος οὐ
τὸν ἀκριβῆ δηλῶν ἀριθμόν. ἐπεὶ τοίνυν αὐτὸς μὲν ἔχω λαβὼν ἀριθμὸν
παρὰ τοῦ δεσπότου, τῇ χειρὶ διδόντος τοῖς οἰκονομοῦσι καλῶς, συμβαί-
νει δέ τινας ἀπορεῖσθαι δοκιμασίᾳ χάριτος, τῶν ἐχόντων μὴ παρεχόντων
δὲ τούτοις, λαβὼν ὦ φίλη μοι κεφαλὴ τούτους τοὺς τριακοσίους χρυσίνους,
ἀνάλωσον ὅπως ἂν θελήσῃς. βουλήσει δέ που πάντως, τοῖς αἰσχυ-
νομένοις τὴν αἴτησιν, ἀλλ' οὐχὶ τοῖς ἐμπορίαν διὰ βίου τὴν γαστέρα προτε-
θεικόσι δίδοσθαι τοίνυν, μηδὲ θρησκείαν λογίσῃ κατὰ τοῦτο τὸ μέρος·
ἐμὸς καὶ μόνου γενόμενος, τοῦ τρέφειν τοὺς πεινῶντας, ἀλλὰ μὴ λογί-
σῃ τοὺς τὸ ἡμέτερον πρὸς ὄμμα μὴ φρονοῦντας. οὕτω μὲν δὴ τῶν δεομένων,
καὶ πόρρωθεν ὄντων ἐφρόντιζεν. οὐ μὴν ἀλλὰ καὶ τὰς δεισιδαιμονί-
ας τινῶν ἐκκόπτειν ἐσπούδαζε. πυθόμενος γοῦν ποτὲ τοὺς ἀπὸ Ἰουδαϊ-
κὸν πάσχα Ναυατιανῶν χωρισθέντας, τὸ σῶμα τοῦ Σαββατίου ἐκ
τῆς Ῥόδου μετακομίσαντας. ἐν αὐτῇ γὰρ τῇ νήσῳ περιορισθεὶς ἐτελεύ-
τησε, καὶ θάψαντας ἐπὶ τῷ τάφῳ εὔχεσθαι, πέμψας διὰ τῆς νυκτὸς εἰς
ἕτερον τάφον τὸ τοῦ Σαββατίου σῶμα κρυφίως θάπτεσθαι ἐκέλευσεν. οἱ δὲ,
συνήθως ἐλθόντες καὶ ἄμοιρον ἔρημον τὸν τάφον εὑρόντες, τοῦ λοιποῦ
σέβειν τὸν τάφον ἐπαύσαντο. ἦν δὲ καὶ περὶ τὴν θέσιν τῶν ὀνομάτων φιλόκαλος·
ἐπίνειον γοῦν ἐπὶ τῷ στόματι τοῦ Εὐξείνου πόντου κείμενον ἐξ ἀρχαίου
τε Φαρμακέα καλούμενον, Θεραπείας ὠνόμασεν· ἵνα μὴ τὰς συνά-
ξεις ἐκεῖ ποιούμενος διὰ δυσφήμου ὀνόματι ὀνομάζει τὸν τόπον· καὶ
ἄλλο δὲ προάστειον τῆς Κωνσταντίνου πόλεως, Ἀργυρόπολιν ὠνόμασεν
ἐξ αἰτίας τοιαύτης· Χρυσόπολις ἐπίνειον ἀρχαιότατόν ἐστιν· ὃ κεῖται μὲν ἐν ἀρχῇ
τοῦ Βοσπόρου· μέμνηνται δὲ αὐτοῦ πολλοὶ τῶν παλαιῶν συγγραφέων, καὶ Στρά-
βων τε, καὶ ὁ Δαμασκηνὸς Νικόλαος· καὶ ὁ ἐν λόγοις τε θαυμασιώτατος Ξενοφῶν
ἔν τε τῇ ἕκτῃ τῆς Κύρου ἀναβάσεως, καὶ ἐν τῇ πρώτῃ τῶν Ἑλληνικῶν